## ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον

**1.** $\overset{\smile\smile}{\times}$ – ⏑ ⏑ × ×

Schol. rec. in Pind. *Ol.* 4 (p. 171. 23 sqq. Abel) τὸ ιγʹ ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον, ἤτοι δίμετρον βραχυκατάληκτον. τοῦτο καὶ ἀναπαιστικόν ἐστι πενθημιμερές.

Schol. rec. in Pind. *Ol.* 9 (p. 310. 16 sq. Abel) τὸ ζʹ ἰωνικὸν δίμετρον βραχυκατάληκτον ἀπὸ μείζονος, ἤτοι ἡμιόλιον ... (p. 311. 2) τὸ θʹ ὅμοιον τῷ ζʹ ... τὸ ιαʹ ὅμοιον τῷ ζʹ καὶ θʹ ... τὸ ιγʹ ὅμοιον τῷ ζʹ ... περὶ τῶν κώλων τῶν ἐπῳδῶν ... (p. 312. 4 sqq.) τὸ θʹ ἰωνικὸν δίμετρον βραχυκατάληκτον, ἤτοι ἡμιόλιον. ἔχει δὲ τὸν αʹ πόδα παίωνα βʹ ἀντὶ ἰωνικοῦ.

Schol. rec. in Pind. *Pyth.* 8 (p. 173. 29 sq. Irigoin) τὸ γʹ ἰαμβικὸν πενθημιμερὲς τὸν δεύτερον ἔχον πόδα ἀνάπαιστον· εἰ δὲ βούλει, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον.

Schol. rec. in Pind. *Pyth.* 10 (p. 175. 27 sqq. Irigoin) τὸ αʹ ἰαμβικὸν πενθημιμερές, τὸν δεύτερον ἔχον πόδα ἀνάπαιστον· εἰ δὲ βούλει, ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) δίμετρον βραχυκατάληκτον ἡμιόλιον ἐκ παιῶνος δευτέρου ἀντὶ ἰωνικοῦ καὶ ἡμίσεος.

Schol. in Aesch. *sept.* 975-977d (II 2, p. 396. 2 sqq. Smith) + τὸ δʹ ἰαμβικὸν πενθημιμερὲς τοῦ δευτέρου ποδὸς ἀναπαίστου· εἰ δὲ βούλει, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον ἐκ παίωνος δευτέρου ἀντὶ ἰωνικοῦ, καὶ τροχαίου.

Schol. in Aesch. *Prom.* 128 (p. 11 Smyth) + τὸ ιαʹ <ἰωνικὸν ἡμι>όλιον, ἐξ ἰωνικοῦ <ἀπὸ μείζονος καὶ> (*suppl. Smyth*) τροχαίου· εἰ δὲ βούλει, ἀναπαιστικὸν πενθημιμερές.

Schol. Tricl. in Soph. *Ai.* 621a (p. 14. 23 Tessier) τὸ ηʹ, ἰωνικὸν ἡμιόλιον ἀπὸ μείζονος ... (p. 15. 3 sq.) τὸ ιδʹ, ἰωνικὸν απὸ μείζονος ἡμιόλιον· ἔχει δὲ παίωνα βʹ ἀντὶ ἰωνικοῦ.

Schol. Tricl. in Soph. *Ai.* 900a (p. 19. 5 Tessier) τὸ βʹ, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον.

Schol. Tricl. in Soph. *Ai.* 909a (p. 19. 20 sqq. Tessier) τὸ ηʹ, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον· ἐκ παίωνος βʹ καὶ ἰωνικοῦ βραχυκαταλήκτου· ἤτοι ἡμίσεος.

Schol. Tricl. in Soph. *El.* 824a (p. 37. 14 sq. Tessier) τὸ γʹ, ἰωνικὸν ἡμιόλιον· ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ ἡμίσεος· τὸ δʹ, ὅμοιον.

Schol. Tricl. in Soph. *OT* 462a (p. 56. 21 sq. Tessier) τὸ θʹ, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον· ἔχει γὰρ τὸν πόδα ὅλον καὶ τὸ ἥμισυ αὐτοῦ· τοῦτο καὶ ἀναπαιστικὸν εἴη ἂν πενθημιμερές.

Schol. Tricl. in Soph. *OT* 883a (p. 63. 16 sqq. Tessier) τὸ ιδʹ, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον· ἐκ παίωνος βʹ ἢ ἰωνικοῦ. καὶ τροχαίου ἢ σπονδείου.

Schol. Tricl. in Soph. *OT* 1086a (p. 64. 23 sqq. Tessier) τὸ ιαʹ, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον· ἐκ παίωνος βʹ ἀντὶ ἰωνικοῦ καὶ τροχαίου· ἀλλὰ τὸ τῆς ἀντιστροφῆς οὐκ ἔστιν ὅμοιον· ἐκεῖνο γὰρ ἀναπαιστικόν ἐστι καθαρὸν μονόμετρον· εἴη δ᾽ ἂν καὶ ἰωνικόν ἀλλ᾽ ἀπ᾽ ἐλάττονος· ἐκ παίωνος γʹ καὶ ἰάμβου.

Schol. Tricl. in Soph. *OT* 1186a (p. 65. 9 sq. Tessier) τὸ βʹ, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον· εἴη δ᾽ ἂν καὶ ἰαμβικὸν πενθημιμερές· τοῦ βʹ ποδὸς ἀναπαίστου.

Schol. Tricl. in Soph. *Ant.* 582a (p. 77. 23 sqq. Tessier) τὸ δʹ, ἰωνικὸν ἀπὸ μείζονος· ἡμιόλιον καθαρὸν τὸ αʹ· τὸ δὲ τῆς ἀντιστροφῆς, πεντασύλλαβον ἔχει τὸν ἰωνικόν· τῆς αʹ συλλαβῆς εἰς δύο βραχείας διῃρημένης.

Schol. Tricl. in Soph. *Ant.* 604a (p. 78. 30 Tessier) τὸ ιβʹ, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον καθαρόν.

Schol. Tricl. in Eur. *Hec.* 647-656 (p. 30 De Faveri) τὸ ιʹ ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) ἡμιόλιον· εἰ δὲ βούλει, παιωνικὸν ἐκ παίονος (*sic cod.* T, παίω- *cod.* Ta) βʹ καὶ δύο συλλαβῶν.

Schol. Tricl. in Eur. *Or.* 1426-1451a (p. 77 De Faveri) τὸ ιδʹ ἰωνικὸν ἡμιόλιον, ἐκ παίωνος βʹ ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος καὶ σπονδείου. εἴη ἂν καὶ ἰαμβικὸν πενθημιμερὲς τοῦ βʹ ποδὸς ἀναπαίστου.

Schol. Tricl. in Eur. *Phoen.* 175-178a (p. 92 De Faveri) τὸ εʹ ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον· εἰ δὲ βούλει, ἰαμβικὸν πενθημιμερὲς τοῦ βʹ ποδὸς ἀναπαίστου.

Schol. Tricl. in Eur. *Phoen.* 202-238a (p. 96 De Faveri) τὸ λϛʹ ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον, ἐξ ἰωνικοῦ καὶ τροχαίου.

Schol. Tricl. in Eur. *Phoen.* 1508-1538a (p. 121 De Faveri) τὸ λδʹ ἰωνικὸν ἡμιόλιον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ σπονδείου, ἤτοι ἡμίσεος ἰωνικοῦ.

Schol. Tricl. in Eur. *Phoen.* 1539-1545a (p. 122 De Faveri) τὸ ζʹ ἰωνικὸν ἀπὸ μείζονος καθαρὸν ἡμιόλιον.

Schol. in Aristoph. *Ach.* 836 (p. 109. 9 sqq. Wilson) vet ὧν (*scil.* τῶν περιόδων ἑξακώλων) ἡγοῦνται στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ δύο ἐν ἐκθέσει, καὶ <ἐν> εἰσθέσει κῶλα δʹ, ἰαμβικὰ δίμετρα ἀκατάληκτα γʹ καὶ ἓν ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον EΓ[3].

Schol. in Aristoph. *eq.* 1111a (p. 241. 3 sqq. Jones-Wilson) vet ὦ Δῆμε] διπλῆ καὶ ἐν εἰσθέσει μέλος μονοστροφικὸν ἀμοιβαῖον περιόδων τεσσάρων ἐναλλὰξ τοῦ χοροῦ <καὶ τοῦ ὑποκριτοῦ>. δεκάκωλοι δέ εἰσιν αἱ περίοδοι, ἰωνικαὶ ἀπὸ μείζονος, ὧν τὰ μέν ἐστιν ἑφθημιμερῆ, δύο δὲ ἡμιόλια, τὸ τέταρτον καὶ τὸ δέκατον VEΘM.

Schol. in Aristoph. *eq.* 1111b (p. 241. 9 sqq. Jones-Wilson) Tr (ad vv. 1111-50) δεκάκωλοι δέ εἰσιν αἱ περίοδοι, τὸ δὲ μέτρον ἰωνικὸν ἀπὸ μείζονος, ὧν τὰ μέν ἐστι δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ οἷς καὶ Ἀνακρέων ἐχρήσατο, τὰ δὲ ἡμιόλια ἤτοι δίμετρα βραχυκατάληκτα, τὸ τέταρτον καὶ δέκατον ἑκάστης στροφῆς. ἔστι δὲ ἡμιόλιον ὡς εἴρηται τὸ ἔχον τὸ ὅλον καὶ τὸ ἥμισυ τοῦ ὅλου. ταῦτα δὲ τὰ κῶλα ἔχει μὲν τὸν ἰωνικὸν πόδα, τὰς δʹ συλλαβάς, ἤτοι τὸν παιῶνα, ἔχει δὲ καὶ τὸ δεύτερον τούτου τὰς δύο.

Schol. vet. in Aristoph. *nub.* 1303a (p. 234. 4 sqq. Holwerda) κορωνὶς καὶ μέλος τοῦ χοροῦ κώλων ιηʹ, ὧν τὸ πρῶτον ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. καὶ EΘRs ἐν εἰσθέσει κῶλα τέτταρα, ὧν τὸ πρῶτον RVEΘRs ἰωνικὸν ἡμιόλιον (*scil.* ἀπὸ μείζονος) RVEΘ.

Schol. vet. in Aristoph. *nub.* 1345a (p. 236. 17 sqq. Holwerda) (ad vv. 1345-52) σὸν ἔργον, ὦ πρεσβύτα] διπλῆ καὶ εἴσθεσις εἰς ἐπῳδικὴν τριάδα ἢ τετράδα, ἧς αἱ μὲν ὅμοιαι περίοδοι ἐξ ἰαμβικοῦ τριμέτρου ἀκαταλήκτου ἐν ἐκθέσει καὶ ἰωνικοῦ (*scil.* ἀπὸ μείζονος) ἡμιολίου ἐν εἰσθέσει· ἡ δὲ ἐπῳδὸς ἐκ κώλων δύο κτλ.

Schol. vet. in Aristoph. *nub.* 1350 (p. 237. 5 sq. Holwerda) ἕως ὧδε ἴαμβος. τὸ δὲ ʽἐστὶ τἀνθρώπουʼ (v. 1350) ὅμοιον (*scil. ʽrespondetʼ*) τῷ ʽἀλλʼ οὐδʼ ἐρεβίνθουʼ (v. 1396), ὅ ἐστιν ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) ἡμιόλιον.

Schol. vet. in Aristoph. *nub.* 1394 (p. 242. 15 Holwerda) λαλῶν ἀναπείσῃ] ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) ἡμιόλιον EM.

Schol. vet. in Aristoph. *nub.* 1396a (p. 242. 19 Holwerda) ἀλλʼ οὐδʼ ἐρεβίνθου] ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) ἡμιόλιον ERs.

Schol. rec. in Aristoph. *nub.* 1345a. 6 sq. (p. 182 Koster) $Tr^1$ τὸ δʹ ʽοὕτως ἀκόλαστοςʼ (v. 1348) ἰωνικὸν ἡμιόλιον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ τροχαίου (*scholium totum, quod in cod.* Ps *traditur, lineis transversis deletum est*).

Schol. rec. in Aristoph. *nub.* 1345b. 4 sqq. (p. 183 Koster) $Tr^2$ τὸ βʹ ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον διὰ τὸ ἔχειν, ὡς εἴρηται, τὸν ἰωνικὸν ὅλον καὶ τὸ ἥμισυ τούτου· ἔστι δὲ δίμετρον βραχυκατάληκτον ... τὸ δʹ ὅμοιον τῷ βʹ ἰωνικὸν ἡμιόλιον ... τὸ ϛʹ, ὃ καὶ ἐπῳδὸς λέγεται διὰ τὸ τελευταῖον τίθεσθαι τῆς ᾠδῆς, ὅμοιον τῷ βʹ, ἔχει δὲ ἀντὶ ἰωνικοῦ ἐπίτριτον ἐνταῦθα (*cf. supra* Schol. vet. in Aristoph. *nub.* 1350).

Schol. rec. in Aristoph. *nub.* 1391b. 4 (p. 188 Koster) $Tr^2$ τὸ δὲ βʹ, τὸ δʹ καὶ τὸ ϛʹ ἰωνικὰ (*scil.* ἀπὸ μείζονος) ἡμιόλια.

Schol. ald. in Aristoph. *nub.* 1345a. α (p. 280. 20 sqq. Koster) προῳδικὴ δὲ (*scil.* ἡ στροφή) διὰ τὸ προτίθεσθαι καὶ προᾴδεσθαι τῆς διπλῆς. ἡ διπλῆ καὶ εἴσθεσις εἰς ἐπῳδικὴν τριάδα ἢ τετράδα κώλων ἕξ, ὧν τὰ μὲν περιττὰ ὅμοια τοῖς ἀνωτέρω, τὰ δὲ ἄρτια ἰωνικά, ἡμιόλια διὰ τὸ ἔχειν πρὸς τῷ ὅλῳ καὶ τὸ ἥμισυ τοῦ ἰωνικοῦ καλούμενα, ἀδιαφοροῦντα τὴν πρώτην συλλαβήν. τὸ μέντοι τελευταῖον, ὃ καὶ ἐπῳδός, ὡς ἐπὶ τῷ τέλει τῆς ᾠδῆς τιθέμενον, λέγεται, ἀντʼ ἰωνικοῦ ἐπίτριτον ἔχει (*cf. supra* Schol. rec. in Aristoph. *nub.* 1345b. 4 sqq.).

Schol. in Aristoph. *pac.* 856a. 3 (p. 131 Holwerda) vet τὸ δὲ γʹ ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) καὶ αὐτὸ ἡμιόλιον.

Schol. in Aristoph. *pac.* 856b. 3 sqq. (p. 131 Holwerda) Tr καί εἰσι τοῦ μὲν χοροῦ τὰ κῶλα ἰωνικὰ ἀπὸ μείζονος, τὰ μὲν βʹ δίμετρα ἀκατάληκτα (*re vera* καταληκτικά), τὸ δὲ γʹ ἡμιόλιον· ὁ δὲ τοῦ ὑποκριτοῦ στίχος ἰαμβικὸς τετράμετρος καταληκτικός. καὶ αὖθις τὰ τοῦ χοροῦ τρία LhAld **α**. κῶλα ὅμοια τοῖς ἄνω τρισίν ... Lh = **β**. <τοῖς ἄνω κάτισα κώλοις> ... Ald.

Schol. in Aristoph. *pac.* 943a. 26 (p. 144 Holwerda) Tr τὸ δὲ ϛʹ (*scil.* ἰωνικὸν ἀπὸ μείζονος) ἡμιόλιον ... Lh = <καὶ τοῦ ϛʹ ἡμιόλιου...> Ald.

Schol. in Aristoph. *pac.* 950a. 3 (p. 145 Holwerda) vet τὸ ϛʹ ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) ἡμιόλιον.

Schol. rec. in Aristoph. *ran.* 440-459b. 17 sq. (p. 88 Chantry) τὸ ϛʹ (vv. 453, 459) ʽκαὶ τοὺς ἰδιώταςʼ (v. 459), ἰωνικὸν ὅμοιον (*scil.* ἀπὸ μείζονος) ἡμιόλιον, ἤτοι δίμετρον βραχυκατάληκτον.

**1a.** – – – ⏑ ⏑

Schol. in Aesch. *Prom.* 696 (p. 55 Smyth) + αἱ ἑξῆς αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρπʹ ὧν τελευταῖος ʽεἰπεῖν, σύ τʼ οὐδὲν ἐκμαθοῦσα κερδανεῖςʼ (v. 876). μετὰ δὲ τὸν μϛʹ (*scil. v. 742* ἰώ μοί μοι ἒ ἔ),

κῶλον ἰωνικὸν (*fortasse* ἀπὸ μείζονος) ἡμιόλιον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

**2.** – ⏑ – ⏑ – –

Schol. rec. in Aristoph. *nub.* 1206b. 8 sq. (p. 170 Koster) Tr[2] τὸ η′ ʽπρῶτον ἑστιᾶσαιʼ (v. 1213) ἰωνικὸν ἡμιόλιον, ἐκ διτροχαίου καὶ σπονδείου· ἢ τροχαικὸν ἰθυφαλικόν, ὃ καλεῖται ἀρχιλόχειον, δίμετρον ὂν βραχυκατάληκτον.

Schol. ald. in Aristoph. *nub.* 1206 (p. 279. 11 sqq. Koster) τὸ ὄγδοον ἰωνικὸν ἡμιόλιον, ἐκ διτροχαίου καὶ σπονδείου· ἢ τροχαικὸν ἰθυφαλλικόν.

**3.** – – ⏑ – × –

Schol. Tricl. in Soph. *Ant.* 966a (p. 86. 11 sqq. Tessier) τὸ ε′, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· εἰ δὲ βούλει, ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον· ἐξ ἐπιτρίτου γ′ καὶ σπονδείου.

Schol. Tricl. in Eur. *Phoen.* 301-354a (p. 99 De Faveri) τὸ δ′ ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) ἡμιόλιον, ἐξ ἐπιτρίτου τρίτου καὶ ἰωνικοῦ ἡμίσεος· εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. [*P.S.*]